www.tezaurliturgic.ro

ΑΚΟΛΟΥΘΙΑ ΠΛΗΡΗΣ

ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΑΡΕΟΠΑΓΙΤΟΥ

ΑΠΑΡΤΙΣΘΕΙΣΑ ΧΑΡΙΝ ΤΩΝ ΕΠΙΣΗΜΩΣ ΕΟΡΤΑΖΟΝΤΩΝ

ΥΠΟ

ΝΙΚΟΛΑΟΥ Β. ΝΑΚΗ

Βιβλιοπώλου ἐκδότου

ΕΠΙΣΤΑΣΙΑ ΤΟΥ ΣΕΒΑΣΜΙΩΤΑΤΟΥ ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ

ΙΩΑΝΝΟΥ ΜΑΡΤΙΝΟΥ

Ἡ προστεθήσαν Ὁ πανηγυρικὸς λόγος εἰς τὸν ἱερομάρτυρα καὶ πολιοῦχον Ἀθηνῶν ὑπὸ τοῦ Σεβασμιωτάτου Ἀρχιεπισκόπου Πατρῶν

ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΟΓΕΡΑ

ΚΑΙ Η ΕΙΚΩΝ ΤΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΓΕΩΡΓΙΟΥ Σ. ΣΤΑΥΡΙΑΝΟΥ

Ἀρ. 40 — Ὁδὸς Πανεπιστημίου καὶ Προαστείου — Ἀρ. 40

1894

124994

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

ΑΚΟΛΟΥΘΙΑ ΠΛΗΡΗΣ

ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΑΡΕΟΠΑΓΙΤΟΥ

ΑΠΑΡΤΙΣΘΕΙΣΑ ΧΑΡΙΝ ΤΩΝ ΕΠΙΣΗΜΩΣ ΕΟΡΤΑΖΟΝΤΩΝ

ΥΠΟ

ΝΙΚΟΛΑΟΥ Β. ΝΑΚΗ

Βιβλιοπώλου ἐκδότου

ΕΠΙΣΤΑΣΙΑ ΤΟΥ ΣΕΒΑΣΜΙΩΤΑΤΟΥ ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ

ΙΩΑΝΝΟΥ ΜΑΡΤΙΝΟΥ

Ἡ προσετέθησαν Ὁ πανηγυρικὸς λόγος εἰς τὸν ἱερομάρτυρα καὶ πολιοῦχον Ἀθηνῶν ὑπὸ τοῦ Σεβασμιωτάτου Ἀρχιεπισκόπου Πατρῶν

ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΟΓΕΡΑ

ΚΑΙ Η ΕΙΚΩΝ ΤΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

ΒΙΒΛΙΟΘΗΚΗ
ΑΓΓΕΛΟΥ Ν. ΠΑΠΑ...

ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΓΕΩΡΓΙΟΥ Σ. ΣΤΑΥΡΙΑΝΟΥ

Ἀρ. 40 — Ὁδὸς Πανεπιστημίου καὶ Προαστείου — Ἀρ. 40

1894

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro

ΑΦΙΕΡΟΥΤΑΙ

ΤΩ ΣΕΒ. ΜΗΤΡΟΠΟΛΙΤΗ ΑΘΗΝΩΝ

Κ. ΓΕΡΜΑΝΩ.

124994

www.tezaurliturgic.ro

Σεβασμιώτατε Δέσποτα!

Τίνι με τὸ παρὸν ἔδει προσφωνῆσαι δοκίμιον, τὸ Διονυσίου τοῦ πάνυ καὶ πρώτου ἱεράρχου Ἀθηνῶν περιέχον τὴν ὁμνωδίαν, ἢ τῷ ἀξίῳ ἐκείνου διαδόχῳ καὶ ὁμοτρόπῳ; Σὺ γὰρ τοῦ ποιμνίου Ἀθηνῶν προΐστασθαι κληθεὶς ἐπαξίως, ταῖς εὐαγγελικαῖς ἀρεταῖς Σου κατακοσμεῖς τὸν θρόνον, οὗπερ θεία ἐπινεύσει ἐπέβης, κατακοσμήσεις, εὖ οἶδ' ὅτι, θεοῦ συναιρουμένου.

Ἀπόδεξαι τοίνυν, Σοφὲ Ἱεράρχα! τὸ προσφωνηθές, καὶ τῷ προσφωνήσαντι τὰς Σὰς εὐλογίας ἀντίδος· οὐ γὰρ θωπεύων, ὅπερ οἱ πολλοὶ ποιοῦσιν, ἀλλὰ τὰ μὲν εἰδώς καὶ αὐτός, τὰ δὲ τῇ φήμῃ διασαλπιζούσῃ τὰ Σὰ πεισθείς, ἡγησάμην προσηκόντως ἂν ποιεῖν καὶ δικαίως, εἴ Σοι τόδε ὡς ἀπαρχὴν τῶν ἐμῶν πόνων προσενέγκαιμι. Τὰ γάρ ἱερὰ τοῖς ἱεροῖς.

Ζώης ἐπὶ μήκιστον ἐπ' ἀγαθῷ τῆς Ἐκκλησίας τῆς Ἑλλάδος!

Τῆς ὑμετέρας Θεοφρουρήτου Σεβασμιότητος τέκνον ἐν Κυρίῳ εὐπειθέστατον

ΝΙΚΟΛΑΟΣ Β. ΝΑΚΗΣ

Βιβλιοπώλης ἐκδότης

ΒΙΒΛΙΟΘΗΚΗ
ΑΓΓΕΛΟΥ Ν. ΠΑΠΑΚΩΣΤΑ

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

ΤΗ 3 ΟΚΤΩΒΡΙΟΥ

Μνήμην ἐπιτελοῦμεν τοῦ Ἁγίου Ἱερομάρτυρος Διονυσίου τοῦ Ἀρεοπαγίτου.

ΕΣΠΕΡΑΣ ΜΕΤΑ ΤΟΝ ΠΡΟΟΙΜΙΑΚΟΝ ΤΟ ΜΑΚΑΡΙΟΣ ΑΝΗΡ

Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στιχ. στ'. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια.

Ἦχ. α'. Πανεύφημοι μάρτυρες.

Ἀγκίστρῳ τῆς χάριτος σοφῶς, ὁ Παῦλος ὁ ἔνθεος, δημηγορήσας ἐξώγρησεν, ἱεροφάντορα, καὶ τῶν ἀπορρήτων, θεωρὸν εἰργάσατο, σὲ σκεῦος ἐκλογῆς ἐργασάμενος· μεθ' οὗ δυσώπησον, θεορρῆμον Διονύσιε, τοῦ σωθῆναι τοὺς πόθῳ τιμῶντάς σε.

Ἀγγέλοις ὁμότιμον τὸν νοῦν, πάτερ Διονύσιε, δι' ἀρετῆς ἐργασάμενος, τὴν ὑπερκόσμιον, τῆς ἱεραρχίας, εὐταξίαν πάνσοφε, τὴν τούτων ἱερῶς ἀνιστόρησας, καθ' ἣν ἐρρύθμισας, ἐκκλησίας τὰ συστήματα, οὐρανίων τὰς τάξεις μιμούμενος.

Ἐμφιλοσοφώτατα θεῷ, μάκαρ Διονύσιε, ὡς δυνατὸν ὁμοιούμενος, τῶν ὀνομάτων σου, μυστικῶς τῶν θείων, εὐσεβῶς ἐξήπλησας τὴν ἔνθεον θεόφρον ἀνάπτυξιν, ἕνωσει κρείττονι, μυηθεὶς τὰ ὑπὲρ ἔννοιαν καὶ μυήσας τοῦ κόσμου τὰ πέρατα.

Ἕτερα προσόμοια. Ἦχ. δ'.

Ὡς γενναῖον ἐν μάρτυσι·

Ἱερὲ Διονύσιε, καὶ τοῦ Παύλου ἅλευμα, τοῦ σοφοῦ τῆς πίστεως, θεοκήρυκος οὗ ὥσπερ σπόγγος τὰ νάματα, ἐκείνου δεξάμενος, τὰ σεπτὰ δὲ μυηθείς, καὶ σωτήρια δόγματα, κατηξίωσαι, οὐρανίοις χορείαις προσπελάσαι, καὶ θεάσασθαι τῆς ἄνω ἱεραρχίας διάκοσμον.

Ἀθηνῶν πολιοῦχόν σε, καὶ ὀχύρωμα ἄρρηκτον, ὁ χριστὸς ἀνέδειξε Διονύσιε· καὶ γὰρ πρεσβεύεις ἑκάστοτε, ῥυσθῆναι τὴν ποίμνην σου, ἐκ ποικίλων πειρασμῶν, τὴν πιστῶς προσιοῦσαν σοι, καὶ τὴν ἔντιμον, καὶ ἁγίαν σου μνήμην ἐκτελοῦσαι, καὶ τιμῶσαν σαυτοὺς ἄθλους, οὓς περ ἀνέτλης στερρότατα.

Ἐκ περάτων ὁ Κύριος παραδόξως συνήγαγε, μαθητῶν τὸν θίασον, καὶ παρέστησεν αὐτοὺς τῷ θείῳ σκηνώματι, ἡνίκα ἡ πάναγνος, ἐξεδήμει ἀπὸ γῆς, εἰς τὰ ἄνω βασίλεια, σὲ δὲ

www.tezaurliturgic.ro

πάνσοφε, μετ' αὐτῶν συμπαρεῖναι εὐδοκήσας, ὡς ἀπόστολον κλεΐζει, καὶ Ἱεράρχην θεόληπτον.

Δόξα ἦχ. β'.

Δεῦτε συμφώνως οἱ πιστοί, τὴν ἐτήσιον μνήμην τοῦ πανευκλεοῦς Διονυσίου τελέσωμεν· καὶ τοῦτον πνευματικοῖς ἄσμασιν εὐφημήσωμεν λέγοντες· χαίροις ὁ σοφίᾳ σοφίαν διαμείψας, τῇ χαμαιζήλῳ τὴν ὑπὲρ ἄνθρωπον· χαίρεις ὁ τῷ Πνεύματι ἀγρευθείς, καὶ πολλῶν γεγονὼς ἀγρευθὴς ἐν χάριτι χαίροις ὁ τῶν ὑπερφυῶν αὐτόπτης καὶ ἑρμηνευτὴς χρηματίσας· χαίροις ὁ τὴν ἱερατικὴν στολὴν τοῖς τῶν αἱμάτων ῥοαῖς πορφυρώσας, καὶ στέφη δικαιοσύνης παρὰ Χριστοῦ κομισάμενος, τοῦ θεοῦ καὶ σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. *Παρῆλθεν ἡ σκιά· εἴσοδος. Φῶς ἱλαρόν·* καὶ τὰ ἀναγνώσματα.

Παροιμιῶν τὸ ἀνάγνω-μα.

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία κυρίου ἐπὶ τὴν κεφαλὴν αὐτοῦ· μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς· τιμιωτέρα δὲ ἔστι λίθων πολυτελῶν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν· ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη· νόμον δὲ καὶ ἔλαιον ἐπὶ γλώσσης φορεῖ· τσιγαροῦν ἀκούσατέ μου ὦ τέκνα σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει· αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς· καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν τοῖς ἀνθρώποις, ὅτι ἐγὼ ἡ σοφία κατασκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμοὶ φρόνησις, ἐμοὶ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνον ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά· ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ· μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν· διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένητε ἐν Κυρίῳ ἡ ἐλπὶς ἡμῶν, καὶ πλησθήσεσθε πνεύματος.

www.tezaurliturgic.ro

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Δικαίων ψυχαὶ ἐν χειρὶ θεοῦ, καὶ οὐ μὴ ἅψητε αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐν αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστῳ διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν· λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλεισουσιν ἀποτόμως, ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία· καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν, Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε, μάθετε δυνασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι παρὰ κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ ὑψίστου.

Εἰς τὴν λιτὴν στιχηρὰ ἰδιόμελα. Ἦχ. α'.

Εὐφραίνεται σήμερον ἐν Κυρίῳ ἡ Ἀθηνῶν πόλις, καὶ φι-

www.tezaurliturgic.ro

λευσεβὴς ὁμήγυρις ἐν τῇ μνήμῃ Διονυσίου τοῦ θείου ἑαυτῆς ποιμενάρχου καὶ ἀγρύπνου προστάτου τε καὶ φρουροῦ· οὗτος γὰρ τοῦ ὑπὲρ ἡμῶν ἀναρτηθέντος ἐν ξύλῳ νοήσει κρείττονι τὸ πάθος κατιδών, τοῦ δὲ θείου Παύλου ἐνηχηθεὶς θεὸν αὐτὸν καταγγέλλοντος, ἐπέγνω τοῦ κηρύγματος τὴν ἀλήθειαν· καὶ τῆς Ἀθηνῶν ποιμαντορίας ἀξιωθείς, διὰ μαρτυρίου τὸν βίον ἐξετέλεσε, καὶ νῦν πρεσβεύει ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχ. β'.

Τὸν ἐν οὐρανοῖς ἥλιον ὥσπερ ἐκλάμποντα, καὶ τοὺς ἀπὸ γῆς τοῖς θεσσόφοις διδάγμασι καταυγάζοντα, τὸν ἱερομύστην Διονύσιον, δεῦτε οἱ πιστοὶ μακαρίσωμεν· σήμερον γὰρ ἡμᾶς εἰς πανδαισίαν πνευματικὴν συνεκάλεσε, τὰς ὑψηλὰς ἑαυτοῦ θεηγορίας προθέμενος, καὶ προχέων ἀφθόνως νέκταρος ἡδύτερον, τῆς εὐσεβείας τὸ πόμα τὸ ἔνθεον· ταῖς εὐλογίαις τε καταστρέφων τοὺς μετὰ πόθου τὴν μνήμην αὐτοῦ γεραίροντας.

Ἦχ. γ'.

Τί ἀντις πρότερον ἀγάσαι τόσου, οὐρανόφρων μακάριε; τὰς θείας ἀναβάσεις, τὰς ἐν καρδίᾳ, δι' ὧν τὰ ὑπὲρ κατάληψιν πᾶσι διετράνωσας, τὸ εὐθές, τὸ πρᾷον, τὸ καρτερὸν ἐν τοῖς ἀγῶσι καὶ ἀήττητον; πάντα σεμνά σου· πάντα θαυμαστά· πάντα ἐπαίνων κρείττονα· ἀλλ' αἴτησαι τῶν εὐαγῶν ἀρετῶν σου μετόχους γενέσθαι καὶ ἡμᾶς τοὺς εὐφημοῦντας σε.

Δόξα ἦχ. δ'.

Τῷ σκεύει τῆς ἐκλογῆς κολληθεὶς παναοίδιμε, τὴν θείαν γνῶσιν ἐκεῖθεν ἐξήντλησας· καὶ τὰς κεχερσωμένας διανοίας κατήρδευσας· πάντας γὰρ ἐμυσταγώγησας τοῖς θεσσόφοις τε λόγοις σου λόγοις τε καὶ συγγράμμασι καὶ νῦν τῇ αἰωνιζούσῃ ἐντρυφῶν μακαριότητι, καὶ ταῖς ἄνω χοροστασίαις συνών, δυσώπει τὸν ὑπεράγαθον, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν *Ἐκ παντοίων κινδύνων*

Εἰς τὸν στίχον στιχηρὰ. ἦχ. πλ. α'.

χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίρει ἐν οὐρανίαις σκηναῖς ὁ θεοφάντωρ καὶ σεπτὸς Διονύσιος, πορφύραν ἠμφιεσμένος αἱμοβαφῆ ἐκ σφαγῆς καὶ μετὰ ἀγγέλων αὐλιζόμενος, ὁρᾷ τὸ τρισήλιον, ὄντως φῶς

www.tezaurliturgic.ro

καὶ ἀνέσπερον, καὶ τῆς ἀφάτου εὐφροσύνης ἐμπίπλαται, συγχορεύειτε τοῖς δικαίοις καὶ μάρτυσι. Δεῦτε οὖν φιλομάρτυρες, ἐπαίνοις ὡς ἄνθεσι, στέψωμεν τοῦτον βιῶντες, καὶ μετὰ πόθου κραυγάζοντες. γενοῦ θεία σκέπη, Διονύσιε παμμάκαρ ἡμῖν τοῖς δούλοις σου.

Τίμιος ἐναντίον Κυρίου.

Χαίρει ἡ ἐκκλησία Χριστοῦ, καὶ τὴν ἁγίαν νῦν τιμᾷ σου πανήγυριν τοῦ θείου αὐτῆς λαμπτῆρος, καὶ μετὰ πόθου βοᾷ, ᾧ πατέρων κλέος Διονύσιε, τὴν πόλιν σου φύλαττε, ἣν ἐν θέως ἐποίμανας ταῖς εὐπροσδέκτοις πρὸς θεόν σου ἐντεύξεσι, καὶ περίσωστε ἀπὸ πάσης κακώσεως· μέμνησο ἱερώτατε, καὶ πάντων τῶν πίστει σου, τὴν ἱερὰν ἐκτελούντων καὶ φωταφόρον πανήγυριν, Χριστὸν ἱκετεύων, ὑπὲρ οὗ τὸ αἷμα μάκαρ, τὸ σὸν ἐξέχεας.

Οἱ ἱερεῖς σου, κύριε, ἐνδύσονται.

Χαίροις, καθάπερ γῇ ἀγαθῇ, ἀποδεξάμενος τὸν σπόρον τὸν ἔνθεον, τοῦ Παύλου τοῦ θείου μύστου, καὶ διδασκάλου ἐθνῶν, ὃν σῇ πόλει μάκαρ, ἐγκατέσπειρε· καρποὺς δὲ τῆς χάριτος ἐκβλαστήσας διέθρεψας λιμῷ τακείσας, τὰς ψυχὰς καὶ ἐπίανας καὶ προσήγαγες ἀπαρχὴν τῷ Κυρίῳ σου· ὅθεν σε ὡς ἀπόστολον, γεραίρομεν ἔνδοξε, εὐαγγελίου τε θείου ὡς διαπρύσιον κήρυκα· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Δόξα *ἦχος δ΄.*

Τῆς οὐρανίου γνώσεως, ἀθεώρητόν σε βυθὸν καλοῦμεν λαμπρότατε μάρτυς τοῦ Χριστοῦ Διονύσιε· σὺ γὰρ τὰ κενὰ τῆς πλάνης ληρήματα ἐμφρόνως ἀπωσάμενος, τὰ δὲ τοῦ Παύλου ῥήματα περιπαθῶς ἀσπασάμενος, τῆς κρείττονος ἐγένου μερίδος· καὶ τὸ φωτεινὸν περιβόλαιον ἐνδυσάμενος τὸν χριστόν, τὴν δὲ διάνειαν λαμπρυνθεὶς τῇ αἴγλῃ τοῦ πνεύματος, εἰς ἀγῶνας μαρτυρικοὺς φέρων σεαυτὸν παραδέδωκας καὶ στεφανίτης ἀναδέδειξαι. Διό σου τὴν πανέορτον ἐπιτελοῦντες πανήγυριν, πιστῶς δοξάζομεν τὸν δοξάσαντά σε Κύριον.

Καὶ νῦν. *Θεοτοκίον*

Ὡς τοῖς ἐν σκότει τῆς ἀγνωστίας καθεύδουσι τὸν ἄδυτον ἀνατείλαντα ἥλιον, θεοτόκε παρθένε, μὴ ἐλλίπῃς πρεσβεύουσα τῷ υἱῷ σου καὶ θεῷ, τοῦ σκότους τῆς γεέννης ῥυσθῆναι πάντας τοὺς ὑμνοῦντας σε.

www.tezaurliturgic.ro

Ἀπολυτίκιον ἦχος δ'.

Χρηστότητα ἐκδιδαχθεὶς, καὶ νήφων ἐν πᾶσιν ἀγαθὴν συνείδησιν ἱεροπρεπῶς ἐνδυσάμενος, ἥντλησας ἐκ τοῦ σκεύους τῆς ἐκλογῆς τὰ ἀπόρρητα, καὶ τὴν πίστιν τηρήσας, τὸν ἴσον δρόμον τετέλεκας, ἱερομάρτυς Διονύσιε, πρέσβευε χριστῷ τῷ θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον ἦχος πλ. α'.

Τὸν συνάναρχον λόγον

Τὸν σοφὸν ἱεράρχην, πιστοὶ τιμήσωμεν, Διονύσιον ὕμνοις αὐτὸν γεραίροντες, ὡς πολιοῦχον Ἀθηνῶν καὶ ἀντιλήπτορα, ὡς σοφὸν ὑφηγητήν, καὶ σαφῆ ἑρμηνευτὴν τῆς ἄνω μυσταγωγίας, καὶ ὡς εὐχαῖς αὐτοῦ πᾶσιν, ἡμῖν δωροῦντα τὸ μέγα ἔλεος.

Καὶ νῦν· Χαῖρε πύλη κυρίου καὶ ἀπόλυσις.

Ἐν τῷ ὄρθρῳ, μετὰ τὸ θεὸς Κύριος, τὰ ἀπολυτίκια ἀμφότερα.

Μετὰ δὲ τὴν α'. στιχολογίαν κάθισμα

ἦχ. α'. τὸν τάφον σου σωτὴρ

Τοῦ Παύλου τῶν ἐθνῶν, διδασκάλου καὶ μύστου, ἐγένου μαθητής, καὶ συγκῆριξ ἐν πίστει, τὴν πόλιν σου κατείδωλον, οὖσαν πᾶσαν, ἐφώτισας, καὶ ἀνείλκυσας ἐκ τοῦ βυθοῦ τῆς ἀγνοίας, τοῖς διδάγμασι τοῖς σοῖς ἐνθέως ἀγρεύων, σοφὲ Διονύσιε,

Δόξα καὶ νῦν Θεοτοκίον.

Μητέρα σε θεοῦ, ἐπιστάμεθα πάντες, παρθένον ἀληθῶς καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα, σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν· σὲ κεκτήμεθα ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον,

Μετὰ δὲ τὴν β'. στιχολογίαν κάθισμα

ἦχ. γ'. Ἐπεφάνης σήμερον

Τοῦ λαμπροῦ ἐπέλαμψε Διονυσίου, ἡ λαμπρὰ καὶ εὔσημος, καὶ φωτοφόρος ἑορτή, τὰς διανοίας αὐγάζουσα, τῶν ἐκτελούντων αὐτὴν μετὰ πίστεως.

Δόξα καὶ νῦν Θεοτοκίον

Ὁ παντὶ ἀχώρητος, ἐν σοὶ χωρεῖται· ὃν οὐδεὶς τεθέαται, διὰ σοῦ ὤφθη ἐπὶ γῆς, καὶ τοῖς βροτοῖς προσωμίλησεν· ἀνθ' ὧν σε πάντες ἀγνὴ μακαρίζομεν.

Μετὰ τὸν πολυέλαιον κάθισμα· ἦχ. δ'.

ταχὺ προκατάλαβε

Σοφὲ Διονύσιε, ὡς ποιμενάρχης Χριστοῦ, καὶ μάρτυς παρ-

www.tezaurliturgic.ro

ἱστασαι, αὐτοῦ τῷ θρόνῳ φωτί, ἀρρήτῳ λαμπόμενος. Ἔπαρον οὖν τὰς χεῖρας, καὶ ἡμῶν ὑπερεύχου, ἵλεων τὸν δεσπότην ἐργαζόμενος πᾶσι, τοῖς ὡς θεὸν αὐτὸν ὁμολογοῦσι καὶ σέβουσι.

Δόξα καὶ νῦν. Θεοτοκίον

Ταχὺ δέξαι Δέσποινα, τὰς ἱκεσίας ἡμῶν, καὶ ταύτας προσάγαγε, τῷ σῷ υἱῷ καὶ Θεῷ, Κυρίᾳ πανάμωμε· λύσον τὰς περιστάσεις τῶν εἰς σὲ προστρεχόντων, σύντριψον μηχανίας, καὶ κατάβαλε θράσος, τῶν ὁπλιζομένων ἀθέων ἀχραντε κατὰ κατὰ τῶν δούλων σου.

Οἱ ἀναβαθμοί· τὸ α΄. ἀντίφωνον τοῦ δ΄. ἤχου. Προκείμ. ἦχ. δ΄. οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην· στίχ. Καυχήσονται ὅσιοι ἐν δόξῃ· πᾶσα πνοή. Εὐαγγέλιον. Ὁ Ν. Δόξα. Ταῖς τοῦ ἱεράρχου· Καὶ νῦν ταῖς τῆς Θεοτόκου.

Ἐλέησόν με ὁ θεός· ἦχος πλ. β΄.

Ἱεραρχῶν τὸ καύχημα, καὶ κλέος, τῶν μαρτύρων, τὸν τῆς ἐκκλησίας φωστῆρα, καὶ πρέσβυν θερμότοτον τῆς οἰκουμένης, τῶν Ἀθηνῶν τὸ σέμνωμα, συνελθόντες εὐφημοῦμεν σε, σοφὲ Διονύσιε, ἐπιτελοῦντες ἐν πίστει τὸ ἱερόν σου μνημόσυνον.

Ὁ κανὼν τῆς θεοτόκου μετὰ τῶν εἱρμῶν. Πολλοῖς συνεχόμενος πειρασμοῖς· εἶτα τοῦ ἁγίου εἰς δ΄. ποίημα Θεοφάνους· οὗ ἡ ἀκροστιχίς. Τὸν νοῦν γεραίρω τῶν σοφῶν διδαγμάτων.

ἦχ. πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Τῷ Παύλῳ τῷ θείῳ μαθητευθείς, τῷ τῶν οὐρανίων Διονύσιε θεατῇ, οὐράνιος μύστης παραυτίκα, καὶ θεηγόρος ἐχρημάτισας.

Ὁ χάριτι θείᾳ καταυγασθείς, καταύγασον μάκαρ, τῶν ὑμνούντων σε τὰς ψυχάς, τὰς σὰς συνιέναι θεοπνεύστους. διδασκαλίας Διονύσιε,

Νόὸς καθαρότητι καὶ ψυχῆς, τῶν ἐπουρανίων διακόσμων τὰς ἀστραπάς, μαθεῖν ἠξιώθης. καὶ τὰς τούτων, χοροστασίας ἰδεῖν Διονύσιε.

Θεοτοκίον.

Νυμφὼν φωτοφόρος τῆς ὑπὲρ νοῦν, σαρκώσεως ὤφθης, τοῦ τῶν ὅλων δημιουργοῦ· ἐκ σοῦ γὰρ τὴν σάρκα θεομῆτορ. τὴν ἡμετέραν ἠμφιάσατο.

www.tezaurliturgic.ro

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ Γ'. Οὐρανίας ἁψίδος

Οὐρανίων ἁψίδων, ὑπεραρθεὶς ὅσιε, τῶν ὑπερκοσμίων, τὰς τάξεις καὶ τὰ στρατεύματα, καὶ τὰς λαμπρότητας ὑψηγορίαις τῶν λόγων, καὶ πανσόφοις φράσεσι, πᾶσιν ἐτράνωσας.

Ὑψηλῆς θεωρίας, ἐμφορηθεὶς ἔνδοξε, τὴν τῶν ὀνομάτων τῶν θείων πᾶσαν ἀνάπτυξιν, ἐθεολόγησας, τριαδικὸς θεολόγος, γεγονὼς τῇ χάριτι θεομακάριστε.

Νεκρωθεὶς τοῖς παροῦσι, τῷ πρὸς θεὸν ἔρωτι, καὶ φιλοσοφίᾳ συντόνως ἐγγυμνασάμενος, τῶν ὑπὲρ ἔννοιαν, ζωοποιῶν χαρισμάτων, θεοφόρον ὄργανον πάτερ γεγένησαι.

Θεοτοκίον.

Γεωργίᾳ παρθένε, τοῦ παντουργοῦ πνεύματος, σῶμα τῷ Δεσπότῃ τῶν ὅλων ἐκαρποφόρησας· ἐν ᾧ κατέκρινε, τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ ζωὴν ἐπήγασε τὴν αἰωνίζουσαν.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους· κάθισμα ἦχ. πλ. δ'.

τὴν σοφίαν καὶ λόγον.

Ὡς τοῦ σκεύους ὑπάρχων τῆς ἐκλογῆς, ἀπεικόνισμα θεῖον ὡς ἀληθῶς, τὰ θεῖα μυστήρια ἐκδιδάσκεις τῷ πνεύματι· καὶ φωτισθεὶς τῇ χάριτι τῆς θείας ἐλλάμψεως, τὰς τῶν ἀγγέλων τάξεις τρανῶς διεσάφησας· ὅθεν καὶ τῷ κόσμῳ νοητῶς καταλείψας τὰ θεῖα σου δόγματα, κατεφώτισας ἅπαντας, ἱερομύστα Διονύσιε, πρέσβευε Χριστῷ τῷ θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον

Τοῦ ἡλίου νεφέλη τοῦ νοητοῦ, θείου φέγγους λυχνία χρυσοφαής, ἄσπιλε ἀμόλυντε, παναμώμητε Δέσποινα, τὴν σκοτεινὴν ψυχήν μου, τυφλώττουσαν πάθεσι, τῆς ἀπαθείας αἴγλῃ καταύγασον δέσμαι, καὶ μεμολυσμένην, τὴν καρδίαν μου πλύνον, ῥοαῖς κατανύξεως, μετανοίας τοῖς δάκρυσι καὶ τοῦ ῥύπου μου κάθαρον· ἵνα πόθῳ κραυγάζωσοι, θεοτόκε ἀειπάρθενε· πρέσβευε τῷ σῷ υἱῷ καὶ θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνοῦσι τὸν πανάγιον τόκον σου.

Ὠδὴ Δ'. Σύ μου ἰσχὺς Κύριε.

Ἐκκλησιῶν τὴν εὐκοσμίαν ἐρρύθμισας, ἐν αὐταῖς γάρ, πάτερ ἐζωγράφησας, ἐμφαντικῶς τύπους ἐμφερεῖς, τῶν ὑπερ-

www.tezaurliturgic.ro

κοσμίων καὶ οὐρανίων δυνάμεων· δι' ὧν μυσταγωγεῖται καὶ φωτίζεται πᾶσα, τῶν πιστῶν ἡ θεόφρων ὁμήγυρις.

Ῥεῖθρα τῆς σῆς, θεολογίας θεόληπτε, τοὺς λειμῶνας, ἄγαν καταρδεύουσι τοὺς λογικοὺς καὶ ἀειθαλεῖς, καὶ πεφυτευμένους, ἐπὶ δογμάτων ὀρθότητι. Μονάδα γὰρ οὐσίας ἐν Τριάδι προσώπων, τὴν σεπτὴν μοναρχίαν ἐκήρυξας.

Ἀγγελικῆς ἱεραρχίας τὸ σύντονον, Ἱεράρχα, πόθον καὶ τὸν ἔρωτα, πρὸς τὸν θεὸν καὶ τὴν ἀκλινῆ νεῦσιν πρὸς τὸ ὕψος, τὸ θεῖον καὶ ἀκατάληπτον, ἐδίδαξας ἐμφρόνως, τοὺς ἐν πίστει βοῶντας, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ἱερουργός, τῆς σωτηρίας ἐγένετο, ὁ υἱός σου πᾶσι τοῖς ὑμνοῦσί σε, καὶ ποδηγός, καὶ φωταγωγὸς καὶ δικαιοσύνη, παρθένε καὶ ἀπολύτρωσις. Διό σε θεοτόκον, ἀληθῶς καὶ κυρίως, οἱ πιστοὶ ὁμοφρόνως δοξάζομεν.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

Ὠδὴ Ε'. Ἵνα τίμε ἀπώσω.

Ρημάτων σου ὁ φθόγγος, ὥσπερ τις οὐράνιος ἦχος φερόμενος, τὰς ἀθέους φρένας, κατεβρόντησε λόγῳ τῆς χάριτος, καὶ δογμάτων θείων, μαρμαρυγαῖς ταῖς φανωτάταις, τῶν πιστῶν τὰς καρδίας ἐλάμπρυνε.

Ὡμοιώθης ἐμπόρῳ τῷ τοὺς μαργαρίτας ζητοῦντι πανόλβιε, καὶ εὑρὼν τὸν ἕνα, μαργαρίτην τὸν ὄντως πολύτιμον, καὶ θαυμάσας τούτου, τὰς θεουργοὺς φωτοβολίας, ἱεράρχα θεὸν ὡμολόγησας.

Τὴν πηγὴν τῆς σοφίας, ἐμφιλοσοφώτατα πάτερ ἠγάπησας, καὶ τῷ ταύτης φίλτρῳ, καὶ ἀγάπῃ συμπεριφερόμενος, πολλοστὸς ἐγένου καὶ ποταμοὺς θείων ναμάτων, ἀεννάως πηγάζεις θεόπνευστε.

Θεοτοκίον.

Ὡς κεχαριτωμένη, τὴν καλλοποιὸν ὑπεδέξω εὐπρέπειαν τὴν τὰ πάντα μόνῳ τῷ βουλήμα τι κατασκευάσασαν· καὶ τῷ θείῳ κάλλει, καὶ φωτισμῷ τῆς εὐσεβείας, θεομῆτορ ἡμᾶς καλλωπίσασαν.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Ὠδὴ στ'. Ἰλάσθητί μου ὁ Σωτήρ.

Νομίμως φιλοσοφῶν, σοφίας δῶρον ἐπέτυχες· ἐνθέως θεολογῶν, ὀρθόδοξα δόγματα, παμμάκαρ κατέλιπες· ὧν κατατρυφῶντες, οἱ πιστοί σε μακαρίζομεν.

www.tezaurliturgic.ro

Συνέσει θεοπρεπεῖ, θεόφρον καλλωπιζόμενος τῷ θείῳ μυσταγωγῷ, τὸ οὖς σου ὑπέκλινας καὶ τὴν ὑκερκόσμιον, ὑπ' αὐτοῦ σοφίαν, ἐμυήθης Διονύσιε.

Ὁ βίος σου θαυμαστός, ὁ λόγος θαυμασιώτερος, ἡ γλῶσσα σου φωταυγὴς τὸ στόμα πυρίπνοον, μάκαρ, Διονύσιε, ὁ δὲ νοῦς σου πάτερ, ἀκριβῶς θεοειδέστατος.

Θεοτοκίον.

Φωνὴν σοι τοῦ Γαβριήλ, τὸ χαῖρε πίστει κραυγάζομεν· ἐξ ἧς ἀφράστως ἡμῖν ὁ ζωαρχικώτατος ἀνὴρ ἐχρημάτισε, καὶ συνανεστράφη τοῖς ἀνθρώποις ὁ φιλάνθρωπος.

Καταβασία. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Κοντάκιον ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Τὰς οὐρανίους διαβὰς πύλας ἐν πνεύματι, μαθητευθείς, τῷ ὑπὲρ τρεῖς οὐρανοὺς φθάσαντι, ἀποστόλῳ, Διονύσιε, τῶν ἀρρήτων· ἐπλουτίσθης πᾶσαν γνῶσιν καὶ κατηύγασας, τοὺς ἐν σκότει ἀγνωσίας πρὶν καθεύδοντας· Διὸ κράζομεν· χαίροις πάτερ παγκόσμιε.

Ὁ οἶκος

Ἄγγελος ἐξ ἀνθρώπων, ἀρεταῖς χρηματίσας, ὁ μέγας Διονύσιος πᾶσαν, ὡς ὑπέρτερος ἐμυήθη τὸν νοῦν τὴν οὐράνιον γνῶσιν· διὸ ᾄσμασιν ὡς ἄγγελον τιμήσωμεν, βοῶντες πρὸς αὐτὸν τοιαῦτα.

Χαῖρε ὁ γνοὺς Χριστὸν διὰ Παύλου·
Χαῖρε πολλοὺς πρὸς Χριστὸν ἐπιστρέψας·
Χαῖρε πολυθέου σκηνῆς ὀλετήριον·
Χαῖρε θεογνώστου βουλῆς σκοπευτήριον.
Χαῖρε βίβλος θεοχάρακτος μυστηρίων θησαυρέ·
Χαῖρε πίναξ θεομόρφωτε καὶ δίοπτρα οὐρανοῦ·
Χαῖρε ὅτι τὸ πάθος τοῦ Κυρίου κατεῖδες·
Χαῖρε ὅτι προθύμως δι' αὐτὸν σφαγιάζῃ·
Χαῖρε πηγὴ βλυστάνουσα ἄφεσιν·
Χαῖρε ῥανὶς κοιλαίνουσα ἄγνοιαν·
Χαῖρε φραγμὸς ἀσεβῶν παροδίας·
Χαῖρε φωστὴρ τοὺς πιστοὺς καταυγάζων·
Χαῖρε πάτερ παγκόσμιε.

Τῇ 3ῃ τοῦ αὐτοῦ μηνὸς μνήμην ἐπιτελοῦμεν τοῦ ἁγίου ἱερομάρτυρος Διονυσίου τοῦ Ἀρεοπαγίτου.

Οὗτος ὁ ἅγιος ἦτον Ἀθηναῖος, εἷς ἐκ τῶν ἐννέα βουλευτῶν τῆς βουλῆς τοῦ Ἀρείου Πάγου, δικαστηρίου περιβοήτου διὰ

www.tezaurliturgic.ro

τὴν ἀρετὴν καὶ τὴν δικαιοσύνην τῶν συγκροτούντων αὐτό· ὑπερέβαινε δὲ τοὺς ἄλλους κατὰ τὴν σύνεσιν, τὴν σοφίαν, τὸν πλοῦτον καὶ τὴν δόξαν· ὑπῆρξε σύγχρονος τῶν Ἀποστόλων· ἰδὼν τὸν σκοτασμὸν τοῦ ἡλίου εἰς τὸ πάθος τοῦ κυρίου ἐγνώρισε διὰ τῆς σοφίας του τὸ πρᾶγμα, καὶ εἶπεν· «ἢ θεὸς πάσχει, ἢ τὸ πᾶν ἀπόλλυται.» Ἐλθόντος δὲ τοῦ Παύλου εἰς Ἀθήνας, καὶ κηρύττοντος τὸν Χριστὸν θεὸν ἀληθῆ, καὶ περὶ ἀναστάσεως νεκρῶν διαλεγομένου, ἀπεδέχθη τὸ κήρυγμα, καὶ ἐχειροτονήθη ἐπίσκοπος Ἀθηνῶν· παρευρέθη δὲ εἰς τὴν κοίμησιν τῆς θεοτόκου μετὰ τῶν λοιπῶν Ἀποστόλων· συνέγραψε περὶ οὐρανίου ἱεραρχίας, καὶ περὶ θείων ἰδιοτήτων· ἔπειτα ἀπῆλθεν εἰς τὴν Ῥώμην, καὶ ἐκεῖθεν εἰς τὴν Γαλλίαν· ἔνθα κηρύττων παρρησίᾳ θεὸν τὸν Χριστὸν ξίφει τὴν κεφαλὴν ἀπετμήθη ὑπὸ Δομετιανοῦ βασιλέως ἔν ἔτει 82, μετὰ τῶν δύο του μαθητῶν, Ῥουστικοῦ καὶ Ἐλευθερίου· ἡ ἁγία του κάρα εὑρίσκεται εἰς τὴν μονὴν τοῦ Δοχειαρίου, ἐν τῷ ἁγίῳ ὄρει τοῦ Ἄθωνος, ἀφιερωθεῖσα διὰ χρυσοβούλλου βασιλικοῦ παρὰ Ἀλεξίου τοῦ Κομνηνοῦ αὐτοκράτορος.

Ὠδὴ Ζ'. Θεοῦ συγκατάβασιν.

Ὡς ὄμβρος οὐράνιος, ἐν τῇ διψώσῃ τὰ σὰ διδάγματα, τῶν πιστῶν τὰς καρδίας, ἀεὶ ποθούσας καταπαίνουσι, καὶ ἀκορίστως βοᾷν ἐκδιδάσκουσιν, εὐλογητὸς ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Νοήσει θέοφρονε, τοὺς ἀσωμάτους νόας διέγραψας· καὶ τὰς τούτων παμμάκαρ, ὑμνολογίας ἔνθους γενόμενος, τὴν ἐκκλησίαν ὑμνεῖν ἐξεπαίδευσας, εὐλογητὸς ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Δοχεῖον τοῦ πνεύματος, τοῦ παναγίου ὤφθης εὐάρμοστον, καὶ τὰς τούτου ἐμπνεύσεις, καὶ ἐκδηλώσεις προφητικώτατα, προαγορεύων, σοφὲ Διονύσιε, εὐλογητὸς ἐκβοῶν, ὁ τῶν πατέρων θεός.

Θεοτοκίον·

Ἰδοὺ νῦν πεπλήρωται, τοῦ Ἡσαΐου ἡ προαγόρευσις· ἐν γαστρί σου Παρθένε τὸν λόγον ἔσχες καὶ ἀπεκύησας, τὸν ζωοδότην, ᾧ πάντες κραυγάζομεν· εὐλογητὸς ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Καταβασία. Οὐκ ἐλάτρευσαν.

Ὠδὴ Η'. Ἐπταπλασίως κάμινον.

Διαφανὲς ὡς ἔσοπτρον γεγονὼς Διονύσιε, καὶ χωρητικὸν

www.tezaurliturgic.ro

τῶν καθαρῶν ἐμφάσεων τὸν νοῦν ἐργασάμενος, δι' ἀρετῆς πανόλβιε, τὰς μαρμαρυγὰς τῶν ὑπὲρ νοῦν λαμπηδόνων, δεχόμενος ἐβόας· ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἀφθονωτέρα χάρις σου, ἐξεχύθη τοῖς χείλεσιν· ὅθεν τὰς ἐνθέους, διδαχὰς παρέθηκας τὴν τούτων διάνοιαν ὑπερφυῶς ἐξαπλῶν, καὶ διατρανῶν, καὶ τηλαυγῶς ἀναπτύσσων τοῖς πίστει μελῳδοῦσι· ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Γνωριμοτέρα γέγονε, διὰ σοῦ Διονύσιε, ἡ τῶν Ἀθηναίων εὐκλεὴς μητρόπολις· χριστῷ προσενέγκασα, σὲ ἀπαρχὴν πανίερον· τῷ παμβασιλεῖ διηνεκῶς μελῳδοῦσα· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀναμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Μήτηρ θεοῦ πανάμωμε, τῆς ψυχῆς μου τὰ τραύματα, καὶ τῆς ἁμαρτίας τάς οὐλὰς ἐξάλειψον· υἱὸν γὰρ ἐγέννησας, τὸν ἐξουσίαν ἔχοντα, τοὺς πεπεδημένους ταῖς σειραῖς τῶν πταισμάτων, εὐκόλως ἀνιέναι τῶν δεσμῶν τῶν ἀλύτων, τὸν μόνον εὐεργέτην, θεὸν εἰς τοὺς αἰῶνας.

Καταβασία. Παῖδας εὐαγεῖς.

Ὠδὴ Θ'. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Ἁγίων ἀποστόλων ἀξιωθείς, θεατὴς χρηματίσας καὶ σύμπονος, συγκοινωνός, γέγονας τῆς δόξης καὶ σὺν αὐτοῖς ἐπὶ τὴν θέαν ἔσπευσας. σώματος τοῦ ὄντως ζωαρχικοῦ, τῆς μόνης θεοτόκου, καὶ σεβασμιωτάτης, ἣν ἐπαξίως μεγαλύνομεν.

Τῆς θείας βασιλείας ἐν οὐρανοῖς κληρονόμος ἐγένου ὡς ἔννομος, ἀρχιερεύς, πάτερ, ὡς ἀήττητος ἀθλητής, ἱερωσύνης χρίσμασι, αἷμα συγκεράσας μαρτυρικόν· διὸ διπλοῦς στεφάνους, ἀπείληφας ἀξίως Ἱερομύστα Διονύσιε.

Ὡς ἔχων παῤῥησίαν πρὸς τὸν θεόν, Ἱεράρχα σοφὲ Διονύσιε, διὰ παντὸς πρέσβευε ῥυσθῆναι ἐκ πειρασμῶν, τοὺς εὐσεβῶς ὑμνοῦντάς σε, μύστα τῶν ἀῤῥήτων θεωριῶν, ὡς τῆς κρυφιομύστου, καὶ θεαρχικωτάτης Ἱεροφάντης ἀγαθότητος.

Θεοτοκίον

Νικῶσαι τὰς αἱρέσεις νεανικῶς, τὴν σεπτὴν ἐκκλησίαν· ἀνάδειξον, ἣν ὁ Χριστός, αἵματι τιμίῳ τῷ ἑαυτοῦ, ὡς ἀγαθὸς ἐκτήσατο, κεχαριτωμένη ὁ σὸς υἱός· καὶ σῶσον ἐκ κινδύνων, καὶ ψυχικῆς ἀνίας, τῆς κατεχούσης ἡμᾶς λύτρωσαι.

www.tezaurliturgic.ro

Καταβασία. Ἅπας γηγενής.

Ἐξαποστειλάριον

Τοῖς μαθηταῖς συνέλθωμεν.

Τῷ Παύλῳ Διονύσιε, τῷ κλεινῷ κορυφαίῳ, μαθητευθεὶς πανόλβιε, ὑπ' αὐτοῦ ἐμυήθης, τῶν ἀποκρύφων τὴν γνῶσιν· ὅθεν σε καὶ λαμπτῆρα, τῇ ἐκκλησίᾳ τίθησιν, Ἀθηνῶν προχειρίσας τῆς εὐσεβοῦς, Ἱεράρχην πόλεως. ἣν φυλάττοις, ὀρθοδοξοῦσαν πάνσοφε, σαῖς εὐχαῖς θεοκῆρυξ.

Θεοτοκίον.

Ἐν τῇ σεπτῇ κοιμήσει σου, Παναγία Παρθένε, παρῆν ὁ Διονύσιος, σὺν τῷ Ἱεροθέῳ, καὶ Τιμοθέῳ τῷ θείῳ, ἅμα τοῖς Ἀποστόλοις, ὕμνον ἐξάδων ἕκαστος πρόσφορον τῇ σῇ μνήμῃ μεθ' ὧν καὶ νῦν πᾶσα γλῶσσα βρότειος ἀνυμνεῖσε τὴν τοῦ θεοῦ λοχεύτριαν καὶ τοῦ κόσμου προστάτιν.

Εἰς τοὺς Αἴνους, ἴστωμεν στίχ. δ'.

καὶ ψάλλομεν τὰ παρόντα στιχηρὰ προσόμοια

ἦχ. πλ. δ'. Ὦ τοῦ παραδόξου θαύματος.

Ὦ τοῦ παραδόξου θαύματος, τῶν ἐν Ἀθήναις κομψῶν καὶ ῥητόρων τὸ ἄθεον, εἰς ὁδὸν μετέστρεψεν, εὐσεβείας τὸ πάνσοφον, τοῦ Παύλου στόμα τοῦ θεοκήρυκος, πρῶτον δὲ εἵλε σὺν τῇ Δαμάριδι, σὲ Διονύσιε, καὶ ποιμένα ἔδειξε, μεθ' οὗ καὶ νῦν πρέσβευε πρὸς Κύριον, ἐλεηθῆναι ἡμᾶς. Δίς.

Ὡς τῆς ὑπὲρ νοῦν ἐλλάμψεως, ἧς ἐπὶ γῆς μετασχών, ὁ σοφὸς Διονύσιος, οὐρανοὺς εἰσήλασε, καὶ χοροῖς προσωμίλησε, τῶν ἀσωμάτων, ὧν μετὰ σώματος, καὶ γνοὺς τὰ θεῖα, γραφῇ ἐτράνωσεν. Ὦ τίς ἰσχύσειε, μεγαλεῖα Δέσποτα, σὰ ἐξειπεῖν· καὶ γὰρ τοὺς ἁγίους σου κατεθαυμάστωσας.

Ἱερομύστα θεσπέσιε, ἐπόπτης σὺ γεγονὼς τῶν ἀῤῥήτων θεόπνευστος, κατηχεῖς ἐν πνεύματι, καὶ φωτίζεις τὰ πέρατα, τῆς οἰκουμένης, θεηγορίαις σεπταῖς, καὶ ἐκ γηΐνων ὑψοῦν διάνοιαν, πάντας ἐκπαίδευσας, τὰ φθαρτὰ δ' ὡς ῥέοντα ὑπερορᾶν μόνον δὲ ἀντέχεσθαι τῶν ἀληθῶς ὀρεκτῶν.

Δόξα ἦχ. πλ. δ'.

Ἐν Ἱερεῦσι καὶ μάρτυσι διαπρέψας, παμμακάριστε Διονύσιε, καὶ τῷ Χριστῷ ἐν ἑκατέροις εὐαρεστήσας, τῆς ἐν οὐρανοῖς ἀκηράτου δόξης καὶ λαμπρότητος μετείληφας· κάτω δὲ καὶ ἡ τοῦ χριστοῦ ἐκκλησία, τοῖς ἐγκωμίοις γεραίρει τὴν μνήμην σου· ἀλλ' ὡς ἔχων παῤῥησίαν πρὸς Χριστὸν τὸν

www.tezaurliturgic.ro

θεόν, αὐτὸν ἱκέτευε, τὴν σοῖς γενεθλίοις ἐγκαυχωμένην πόλιν, διασώζεσθαι ἀλώβητον.

Καὶ νῦν. *Δέσποινα πρόσδεξαι.*

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις,

Μεγαλυνάριον.

Τὸν οὐρανομύστην καὶ ἀθλητήν, τῶν ὑπερφυῶντε μυστηρίων ἑρμηνευτήν, τὸν θεῖον φωστῆρα, καὶ λειτουργὸν Κυρίου, τιμήσωμεν ἐκ πόθου νῦν Διονύσιον.

www.tezaurliturgic.ro

ΛΟΓΟΣ ΠΑΝΗΓΥΡΙΚΟΣ

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ

ΔΙΟΝΥΣΙΟΝ ΤΟΝ ΑΡΕΟΠΑΓΙΤΗΝ

ΠΟΛΙΟΥΧΟΝ ΑΘΗΝΩΝ

ΕΚΦΩΝΗΘΕΙΣ ΕΝ ΤΩ ΕΝ ΑΘΗΝΑΙΣ ΕΙΣ ΤΙΜΗΝ ΑΥΤΟΥ ΑΝΕΓΕΡΘΕΝΤΙ ΙΕΡΩ ΝΑΩ ΚΑΤΑ ΤΗΝ ΤΩΝ ΕΓΚΑΙΝΙΩΝ ΑΥΤΟΥ ΠΑΝΗΓΥΡΙΝ

ΥΠΟ ΤΟΥ

ΣΕΒΑΣΜΙΩΤΑΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ Π. ΠΑΤΡΩΝ

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΚΑΛΟΓΕΡΑ

Συμβαίνει πολλάκις, εὐσεβεῖς ἀκροαταί, συμβαίνει εἴτε ἐξ ἀγνοίας, εἴτε ἐξ ἀδιαφορίας, εἴτε δι' ὑπερβολικὴν περὶ τὰ βιωτικὰ πράγματα μέριμναν νὰ ὀλιγωρῶμεν δυστυχῶς καθηκόντων ἱερωτάτων. Ὅταν δὲ τὸ τοιοῦτον πάσχωμεν, τότε ἀπαιτεῖται τι ἄλλο, ἢ μία τις ἀφορμὴ ὁπωσοῦν ἔκτακτος, ἢ ἕν τι περιστατικὸν ἐκ τῶν μὴ κοινῶν καὶ συνήθων, ἵνα ἐξυπνίσῃ τὴν ἀδρανοῦσαν συναίσθησιν εἰς ἐκπλήρωσιν τοῦ ὀφειλομένου χρέους; Μία τοιαύτη καθήκοντος ἱερωτάτου παράλειψις πρὸς τὸν μακάριον Πολιοῦχον καὶ Πατέρα ἡμῶν Διονύσιον τὸν Ἀρεοπαγίτην παρετηρεῖτο καὶ παρ' ἡμῖν· ἀλλὰ ἰδοὺ σήμερον ὁ νεόδμητος οὗτος ναός, τὴν ἑορτὴν τελῶν τῶν ἑαυτοῦ ἐγκαινίων, ζωηρῶς ἀνακαλεῖ εἰς τὴν μνήμην ἡμῶν τὸ πρακτέον. Συνεκάλεσεν ἀπὸ βαθέως ὄρθρου τὴν πόλιν ἅπασαν καὶ ἄμετροί ἐστε τὸ πλῆθος, ὅσοι εἰς τὴν κλῆσιν ὑπακούσαντες προθύμως συνεδράμετε. Καὶ βλέπω ὑμᾶς φαιδροὺς τοὺς πάντας ἐξ εὐλαβείας καὶ περιχαρεῖς, ὅπως φαίνονται συνήθως αἱ ὄψεις πάντων, ὅσοι ἐν τῷ βίῳ γίνονται καλῶν καὶ θεαρέστων πράξεων ἐργάται. Ἠθελήσατε ἴσως καὶ διὰ τῆς πράξεως ταύτης νὰ δείξητε, ὅτι τῆς Ἐκκλησίας τὰ παλαιὰ καὶ καλὰ ἔθιμα δὲν παρήκμασαν ἔτι παρ' ἡμῖν, καὶ μόνον ἀφορμή τις χρειάζεται, ἵνα νεναρκωμένα ὄντα ζωογονήσῃ κοιμώμενα ἀφυπνίσῃ, ἀσθενῆ καὶ ἀδύνατα ἐνδυναμώσῃ καὶ ἀναδείξῃ πάλιν τὴν ἀρχαίαν ἀκμὴν καὶ δύναμιν ἔχοντα.

Οἱ ἐν μακαρίᾳ τῇ λήξει ἀοίδιμοι ἡμῶν πρόγονοι, ὅτε τὰ ἐγκαίνια ἐτέλουν τῶν ναῶν, οὕς εἶχον ἀνεγείρει εἰς τιμὴν ἢ τῶν διδαξάντων αὐτοὺς τὸν Χριστιανισμόν, ἢ τῶν ὑπὲρ τῆς πίστεως μαρτυρικῶς τελειωθέντων, ἢ τῶν εὐσεβῶς καὶ θεαρέστως αὐτοὺς ποιμανάντων, ἐγένοντο, ἐκτάκτως φαιδροὶ καὶ περιχαρεῖς. Εἰς ἔνδειξιν τῆς ἐσωτερικῆς τοῦ πνεύματος εὐφροσύνης ἐνεδύοντο οἱ πάντες τὰ ἑορτωδέστερα τῶν ἐνδυμάτων· μετὰ σπουδῆς ἐκτάκτου καὶ εὐλαβείας συνέρρεον εἰς τὸν μέλ-

www.tezaurliturgic.ro

λοντα νὰ ἐγκαινισθῇ ναόν· συνίστων χοροστασίας μυστικωτέρας· προςῆγον εὐχὰς καὶ ἐντεύξεις· ἐκάλουν δὲ συνήθως καὶ τοὺς συμπολίτας αὐτῶν ἐθνικούς, ὅπως μετάσχωσι καὶ οὗτοι τῆς λαμπρότητος τῆς πανηγύρεως. Καὶ ἡ μὲν πόλις ἅπασα ἐλάμβανεν οὕτω πανηγυρικὴν τὴν ὄψιν, οἱ δὲ ἐκκλησιαστικοὶ ῥήτορες φιλοτίμως ἠμιλλῶντο, ἵνα' τὴν παγήγυριν φαιδροτέραν ἑαυτῆς καταστήσωσιν. Οὗτοι περὶ τὸν βίον καὶ τὰ θεάρεστα κατορθώματα τοῦ Ἁγίου, οὗ εἰς τιμὴν καθιεροῦτο ὁ ἐγκαινιζόμενος ναός, ἐνδιατρίβοντες, εἱστίων ὄντως τὰς τῶν συνηθροισμένων ψυχὰς διὰ πνευματικῆς πανδαισίας.

Εὐσεβεῖς ἀκροαταί! Ἐγὼ πείθομαι ἀδιστάκτως, ὅτι ταῦτα τῶν παλαιῶν εὐσεβῶν ἡμῶν προγόνων τὰ καλά τε καὶ θεοφιλῆ ἔθιμα καὶ σέβετε καὶ ἐπαινεῖτε καί, ὡς υἱοὶ εὐγνώμονες, ἐγκρίνετε. Ἐὰν τοῦτο οὕτως ἔχῃ, συγχωρήσατε καὶ εἰς ἐμὲ νὰ παραδώσω σήμερον εἰς τὰς ἀκοὰς ἡμῶν λιτήν τινα καὶ μετριωτάτην παράδοσιν τὰ περὶ τοῦ ἡμετέρου Πολιούχου ἁγίου Διονυσίου ἐν συντομίᾳ ἀφηγούμενος. Τοῦ λόγου μου τὸ πενιχρὸν οὐδένα ἐλπίζω νὰ δυσαρεστήσῃ ἐξ ὑμῶν, ὅτε αὐτὸς ὁ συγκαλῶν ὑμᾶς εἰς ἑστίασιν Ἅγιος εἶναι πλούσιος καὶ δαψιλὴς ἑστιάτωρ. Ἐὰν ἕκαστον τῶν προτερημάτων, τῶν περικοσμούντων τὸν πρῶτον τῶν Ἀθηνῶν Ἱεράρχην, ἐκλάβῃ τις (εὐλόγως κατ' ἐμέ) ὡς ἀποτελοῦν καθ' ἑαυτὸ ἓν θαυμαστὸν καὶ ἐξαίσιον ἔδεσμα, τότε λογίσασθε τῆς τραπέζης τὴν ἀφθονίαν. Ἐν αὐτῷ ἔχομεν τὸν θεολόγον, τὸν φιλόσοφον, τὸν ῥήτορα, τὸν ἀστρονόμον, τὸν Ἀρεοπαγίτην, τὸν ἰσαπόστολον, τὸν ἱεράρχην, τὸν Μάρτυρα.

Καὶ ταῦτα πάντα οὐχὶ ἁπλῶς, οὐδ' ἐν ἀναλογίᾳ κοινῇ καὶ συνήθει, ἀλλ' ἐν ὕψει καὶ μέτρῳ, ἅπερ πολὺ δυσκόλως δύνανται νὰ εὕρωσι τὸ ἰσοϋψὲς καὶ ἰσόρροπον. Τὰ πάντα ἔχουσιν, ὡς βλέπετε, λίαν καλῶς, καὶ μόνος φόβος εἶναι μὴ ἐμοῦ τοῦ εὐτρεπιστοῦ ἡ ἀβελτηρία διαταράξῃ ἐν τῇ πνευματικῇ ταύτῃ εὐωχίᾳ καὶ τοῦ καλέσαντος Ἁγίου τὴν ἁγιοπρεπῆ προαίρεσιν καὶ τῶν προσκεκλημένων τὴν ἐπαινετὴν εὐταξίαν

Καὶ εἰς τοῦτο κυρίως κεῖται τῆς ἐμῆς λειτουργίας ἡ δυσχέρεια σήμερον. Οἱ παλαιοὶ ἔλεγον "ἐκ πολλῆς τῆς εὐπορίας ἡ ἀπορία„ καὶ καλῶς, ὡς φαίνεται, ἔλεγον Διότι καὶ ἐγὼ σήμερον ἀπορῶν ὁποίαν πρῶτον, ὁποίαν δεύτερον, ὁποίαν τρίτον ἐκ τῶν ἰδιοτήτων τοῦ μεγάλου Διονυσίου νὰ ἐπισκοπήσω, κινδυνεύω κατά τινα τρόπον νὰ πάθω ὅ,τι πολλοὶ πολλάκις πάσχουσιν. Οἵτινες, ἐνῷ περικλύζει αὐτοὺς πανταχόθεν ὄλβος καὶ ἀφθονία ἄπειρος, αὐτοὶ παραδόξως εὑρίσκονται ἐν ατενοχωρίᾳ ἀγωνιώδει . . .

Ἀλλὰ τί λέγω; ἰδοὺ ἀκριβῶς ἀπέναντι βλέπω ὑψούμενον τὸν λόφον τοῦ Ἀρείου Πάγου. Καὶ τοῦτον καλῶς παρατηρῶν, ἐνῷ ἀναπολῶ εἰς τὴν μνήμην τὸ περιβόητον Δικαστήριον, φαντάζομαι ἅμα καὶ τὸν ἡμέτερον Πολιοῦχον περιβεβλημένον τὸ τόσον σοβαρὸν καὶ σεμνὸν ἀξίωμα τοῦ Ἀρεοπαγίτου. Καὶ ἰδοὺ κατ' ἐμὲ πρόχειρος ξενίσας ἀρχή. Λοιπὸν ὑπὸ τὴν τοῦ Ἀρεοπαγίτου ἰδιότητα κατὰ πρῶτον θέλω ἐπισκοπή-

www.tezaurliturgic.ro

σει τὸν ἅγιον Διονύσιον σήμερον καὶ εἶτα ὅσον τὸ βραχὺ τοῦ λόγου συγχωρεῖ, καὶ ὑπὸ τὰς ἄλλας, εἰς ἄλλους καταλείπων, πολλῷ ἐμοῦ βαρύτερον τῆς σοφίας τὸ τάλαντον ἔχοντας, νὰ ἐξυμνήσωσιν ἐπαξίως πάντας αὐτοῦ τοὺς ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως ἄθλους· νὰ περιγράψωσιν ἀκριβῶς τὰς χώρας καὶ τὰ ἔθνη, ἃ ἐφώτισε διὰ τοῦ κηρύγματος τοῦ Εὐαγγελίου· νὰ ἐγκωμιάσωσι τὰ ὑπερφυᾶ ἱεραρχικὰ αὐτοῦ χαρίσματα· νὰ θαυμάσωσι τὸ πέλαγος τῆς θεολογικῆς αὐτοῦ σοφίας· νὰ παραστήσωσι τὴν βαθεῖαν αὐτοῦ καὶ σχεδὸν ἀνυπέρβλητον πάντων ἐγγένει τῶν πάλαι φιλοσοφικῶν συστημάτων γνῶσιν· νὰ ἐντρυφήσωσιν εἰς τὴν περὶ περὶ ζωῆς αὐτοῦ θεωρίαν, εἰς τὴν περὶ νοῦ, εἰς τὴν περὶ λόγου, εἰς τὴν περὶ ἀληθείας, εἰς τὴν περὶ πίστεως, εἰς τὴν περὶ δυνάμεως, εἰς τὴν περὶ δικαιοσύνης, εἰς τὴν περὶ σωτηρίας, εἰς τὴν περὶ [illegible]υτρώσεως. Νὰ κατανοήσωσιν ἂν δύνανται, καὶ ἄλλους εἰς κατανόησιν ὁδηγήσωσι τοῦ τί εἶναι ὅμοιον, τί ἀνόμοιον, τί στάσις, τί κίνησις, τί ἰσότης, τί ἀνισότης, τί ἀγαθόν, τί κακόν, τί φῶς, τί ἔρως, τί ἔκστασις, τί ζῆλος Νὰ γλυκανθῶσι τέλος πάντων ἐκ τῆς μελιρρύτου αὐτοῦ φράσεως, καί, κορεσθέντες αὐτοὶ ἐκ τῆς γλυκύτητος, παροτρύνωσι καὶ ἄλλους εἰς τὴν ἡδυτάτην μελέτην τοῦ ἀττικωτάτου τε καὶ τεχνικωτάτου τῶν ἀττικιζόντων καὶ γραμματικευομένων.

Ταῦτα, ὡς εἶπον, εἰς ἄλλους ἔστωσαν κλῆρος, εἰς τοὺς ἄγαν δηλονότι δυνατοὺς καὶ περιττοὺς τὴν σοφίαν. Ἡμεῖς ἀπὸ ταύτης τῆς θέσεως τὸν τοῦ Ἀρείου πάγου λόφον θεώμενοι, φαντασθῶμεν κατὰ πρῶτον τὸν ἅγιον Διονύσιον ὡς Ἀρεοπαγίτην ἐκεῖ καθήμενον. Καὶ οὐχὶ ἁπλῶς ὡς δικαστὴν καθήμενον, ἀλλὰ καὶ ἀκροώμενον τοῦ Ἀποστόλου Παύλου δημηγοροῦντος. Ἢ εἶναι τάχα ἀνάγκη νὰ ἀναφέρω τὸ τόσον γνωστὸν καὶ εἰς ὑμᾶς καὶ εἰς πάντας, ὅτι καὶ τοῦ Εὐαγγελιστοῦ Λουκᾶ ὁ πνευματοκίνητος χρωστὴρ τὴν τοιαύτην τοῦ μεγάλου Διονυσίου στάσιν ἐφιλοτιμήθη νὰ ζωγραφήσῃ διὰ τῶν ἀνθηροτάτων τοῦ λόγου χρωμάτων ἐν τῷ ἱερῷ βιβλίῳ τῶν Πράξεων:

Ἐκεῖ λοιπὸν ἐπὶ τοῦ λόφου, ἔνθα ὁ Ἄρης κατὰ τὸν μῦθον τῶν παλαιῶν (τὸν οὐδὲν ἄλλως σεμνὸν διδάσκοντα) ἔδωκε δίκην διὰ τὸν ὑπ' αὐτοῦ διαπραχθέντα φόνον τοῦ Ἀλιρροθίου τοῦ υἱοῦ τοῦ Ποσειδῶνος, ἐκεῖ ἦν ἀνιδρυμένον τὸ τοῦ Ἀρείου Πάγου Δικαστήριον. Ἐν τῷ περιβοήτῳ τούτῳ Δικαστηρίῳ ὁπόσοι μὲν ἦσαν κατὰ καιροὺς οἱ δικασταί· ἐκ τίνων καὶ παρὰ τίνων ἐγένετο αὐτῶν ἡ ἐκλογὴ καὶ ἡ προαγωγὴ εἰς τὸ ἀξίωμα τοῦ Ἀρεοπαγίτου· διὰ τί ἐν νυκτὶ καὶ σκότῳ τοῦτο ἐδίκαζεν· ὁποία μάλιστα ἦν αὐτοῦ ἡ κατάστασις ἐπὶ Διονυσίου τοῦ Ἀρεοπαγίτου, ὅτε οἱ Ἕλληνες τὴν σώφρονα ἀπομαθόντες ἐλευθερίαν εἰς τοὺς Ρωμαίους ἐδούλευον ταῦτα καὶ τὰ τοιαῦτα, ἀγαπητὰ ἄλλως εἰς τοὺς περιεργοτέρους τε καὶ φιλομαθεστέρους ὑπάρχοντα, οὔτε ὑμεῖς σήμερον παρ' ἐμοῦ ζητεῖτε νὰ διδαχθῆτε, οὔτε ἐγὼ νὰ πραγματευθῶ δύναμαι, ὡς ἐκτὸς κείμενα τοῦ θέματος τῆς παρούσης ὁμιλίας. Ἐκεῖνο ὅμως, ὅπερ ἐπὶ τοῦ παρόντος δὲν πρέπει κατ' ἐμὲ νὰ μείνῃ ἐντελῶς ἀπαρα-

www.tezaurliturgic.ro

